**δοχμός**

Etym. Magn. 285. 18 sqq. δοχμή […] ἢ παρὰ τὸ δοχμός· ἐπειδὴ πλαγίᾳ τῇ χειρὶ μετροῦμεν. ἔστιν οὖν μέτρον τί. <ἐξ οὗ παράγωγον τὸ δόχμιος ὁ πλάγιος *add. V*>.

Schol. in Aristoph. *Ach.* 284a (p. 48. 14 sqq. Wilson) vet Ἡράκλεις] διπλῆ· εἶτα ἕπεται δυὰς μονοστροφικὴ ἀμοιβαία τὰς περιόδους ἔχουσα δεκακώλους, ἐκ στίχων δύο τροχαικῶν τετραμέτρων καταληκτικῶν καὶ κώλων η΄· ὧν τοὺς μὲν στίχους ὁ ὑποκριτὴς λέγει, τὰ δὲ κῶλα ὁ χορός. πρῶτος τοίνυν ἐστὶ <στίχος> ἐν ἐκθέσει †κατὰ τὸ ἴσον τοῖς χορικοῖς ἃ ποιεῖ δοχμὸν συζυγίαν καὶ παίωνας τρεῖς καὶ διαίρεσιν†. τῷ δὲ δικώλῳ τούτῳ <ἀντιστροφικὸν> τὸ μὲν πρῶτόν ἐστιν· (v. 336)

ἀπολεῖς ἄρα τὸν ἥλικα τόνδε φιλανθρακέα,

τὸ δὲ τῆς δευτέρας· (v. 342)

οὔτοι ἴσοι χαμαί. [*A.T.*]